UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

# Aristotelis de arte poetica liber

## Aristoteles

## Lipsiae, 1913

Περὶ κωμῳδίας

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-5505

Visual Library

## *Περὶ κωμῳδίας.*

1. Arist. rhet. I, 11 p. 1372ª 1 *διώρισται περὶ γελοίων χωρὶς ἐν τοῖς περὶ ποιητικῆς.* ibid. III, 18 p. 1419ᵇ 5 *εἴρηται πόσα εἴδη γελοίων ἐστὶν ἐν τοῖς περὶ ποιητικῆς.*

2. Excerpta ex Aristotelis libro apud Anonymum *Περὶ κωμῳδίας* in cod. Coisliniano 120: *Κωμῳδία ἐστὶ μίμησις πράξεως γελοίας καὶ ἀμοίρου μεγέθους τελείου χωρὶς ἑκάστῳ τῶν μορίων ἐν τοῖς εἴδεσι δρῶντος καὶ* ⟨*οὐ*⟩ *δι' ἀπαγγελίας, δι' ἡδονῆς καὶ γέλωτος περαίνουσα τὴν τῶν τοιούτων παθημάτων κάθαρσιν. ἔχει δὲ μητέρα τὸν γέλωτα.*

*γίνεται δὲ ὁ γέλως ἀπὸ τῆς λέξεως καὶ ἀπὸ τῶν πραγμάτων. ἀπὸ τῆς λέξεως κατὰ ὁμωνυμίαν, συνωνυμίαν, ἀδολεσχίαν, παρωνυμίαν (παρὰ πρόσθεσιν καὶ ἀφαίρεσιν), ὑποκόρισμα, ἐξαλλαγὴν (φωνῇ, τοῖς ὁμογενέσι), σχῆμα λέξεως. ὁ ἐκ τῶν πραγμάτων γέλως ἐκ τῆς ὁμοιώσεως (χρήσει πρὸς τὸ χεῖρον, πρὸς τὸ βέλτιον), ἐκ τῆς ἀπάτης, ἐκ τοῦ ἀδυνάτου, ἐκ τοῦ δυνατοῦ καὶ ἀνακολούθου, ἐκ τοῦ παρὰ προσδοκίαν, ἐκ τοῦ χρῆσθαι φορτικῇ ὀρχήσει, ὅταν τις τῶν ἐξουσίαν ἐχόντων παρεὶς τὰ μέγιστα φαυλότητα λαμβάνῃ, ὅταν ἀσυνάρτητος ὁ λόγος ᾖ καὶ μηδεμίαν ἀκολουθίαν ἔχων.*

*διαφέρει ἡ κωμῳδία τῆς λοιδορίας, ἐπεὶ ἡ μὲν λοιδορία ἀπαρακαλύπτως τὰ προσόντα κακὰ διέξεισιν, ἡ δὲ δεῖται τῆς καλουμένης ἐμφάσεως. ὁ σκώπτων ἐλέγχειν θέλει ἁμαρτήματα τῆς ψυχῆς καὶ τοῦ σώματος. συμμετρία τοῦ φόβου θέλει εἶναι ἐν ταῖς τραγῳδίαις καὶ τοῦ γελοίου ἐν ταῖς κωμῳδίαις.*

7 *γελοίου* cod. — *ἑκάστου* cod., v. 1449ᵇ 26. — 14 *ἐξαναλλαγήν* cod. — 19 *φαυλότατα* Bergk. — 24 *σύμμετρα* cod.

κωμῳδίας ὕλη· μῦθος, ἦθος, διάνοια, λέξις, μέλος, ὄψις. μῦθος κωμικός ἐστιν ὁ περὶ γελοίας πράξεις ἔχων τὴν σύστασιν. ἤθη κωμῳδίας τά τε βωμολόχα καὶ τὰ εἰρωνικὰ καὶ τὰ τῶν ἀλαζόνων. διανοίας μέρη δύο, γνώμη καὶ πίστις.

κωμική ἐστι λέξις κοινὴ καὶ δημώδης. δεῖ τὸν κωμῳδοποιὸν τὴν πάτριον αὑτοῦ γλῶσσαν τοῖς προσώποις περιτιθέναι, ⟨τῷ δὲ ξένῳ⟩ τὴν [δὲ] ἐπιχώριον αὐτῷ ἐκείνῳ.

μέλος τῆς μουσικῆς ἐστιν ἴδιον, ὅθεν ἀπ' ἐκείνης τὰς αὐτοτελεῖς ἀφορμὰς δεήσει λαμβάνειν. ἡ ὄψις μεγάλην χρείαν τοῖς δράμασι ⟨πρὸς⟩ τὴν ψυχαγωγίαν παρέχει. ὁ μῦθος καὶ λέξις καὶ τὸ μέλος ἐν πάσαις κωμῳδίαις θεωροῦνται, διάνοιαι δὲ καὶ ἦθος καὶ ὄψις ἐν ὀλίγαις.

μέρη τῆς κωμῳδίας τέσσαρα· πρόλογος, χορικὸν, ἐπεισόδιον, ἔξοδος. πρόλογός ἐστιν μόριον κωμῳδίας τὸ μέχρι τῆς εἰσόδου τοῦ χοροῦ. χορικόν ἐστι τὸ ὑπὸ τοῦ χοροῦ μέλος ᾀδόμενον ὅταν ἔχῃ μέγεθος ἱκανόν. ἐπεισόδιόν ἐστι τὸ μεταξὺ δύο χορικῶν μελῶν. ἔξοδός ἐστι τὸ ἐπὶ τέλει λεγόμενον τοῦ χοροῦ.

3. Simplic. in categ. p. 43a 13 Brandis. καὶ γὰρ καὶ ὁ Ἀριστοτέλης ἐν τῷ περὶ ποιητικῆς συνώνυμα εἶπεν εἶναι ὧν πλείω μὲν τὰ ὀνόματα λόγος δὲ ὁ αὐτός, οἷα δή ἐστι τὰ πολυώνυμα τό τε λώπιον καὶ ἱμάτιον καὶ τὸ φᾶρος. conf. Arist. rhet. III 2.

4. Antiatticista in Bekkeri anecdotis 101, 32 κυντότατον: Ἀριστοτέλης περὶ ποιητικῆς. «τὸ δὲ πάντων κυντότατον.»

9 δεήσει cod., v. 1450b 16. — 10 ψυχαγωγίαν] συμφωνίαν cod. τῇ ψυχαγωγίᾳ Bernays, v. 1450b 17. — 11 fort. διάνοια.